θυσιασμῶν. ἐὰν δὲ ὁ τοῦ ♃, νομογράφους, ῥήτορας, σοφιστάς, μετὰ προσώπων μεγάλων ἔχοντας τὰς ἀναστροφάς. ὁ δὲ τῆς ♀ τὸ πράσσειν παρέχων, ποιεῖ τοὺς παρ' ὀσμαῖς ἀνθῶν ἢ μύρων, ἢ οἴνοις ἢ χρώμασιν ἢ βαφαῖς. ἢ ἀρώμασιν, ἢ κόσμοις τὰς πράξεις ἔχοντας. οἷον μυροπώλας, στεφανηπλόκους, ἐκδοχέας, οἰνεμπόρους, φαρμακοπώλας, ὑφάντας, ἀρωματοπώλας, ζωγράφους, ἱματιοπώλας. κἂν μὲν ὁ τοῦ ♄ αὐτῷ μαρτυρήσῃ ἐμπόρους τῶν πρὸς ἀπόλαυσιν καὶ κόσμον, γόητας δὲ καὶ φαρμακούς, καὶ * προσαγωγούς, καὶ τοὺς ἐκ τῶν ὁμοίων τούτοις πορίζοντας. ἐὰν δὲ ὁ τοῦ ♃, ἀθλητάς, στεφανηφόρους, τιμῶν καταξιουμένους, ὑπὸ θηλυκῶν προσώπων προβιβαζομένους. ὁ δὲ τοῦ ♂, μετὰ μὲν τοῦ ☉ συσχηματισθείς, τοὺς διὰ πυρὸς ἐργαζομένους ποιεῖ οἷον μαγείρους, χωνευτάς, καύστας, χαλκέας, χωρὶς δὲ τοῦ ☉ τυχὼν τοὺς διὰ σιδήρου, οἷον ναυπηγούς, τέκτονας, γεωργοὺς λατόμους, λαοξόους, λιθουργούς, ξυλοσχίστας, ὑπουργούς, κἂν μὲν ὁ τοῦ ♄ αὐτῷ μαρτυρήσῃ, ναυτικούς, ἀντλητάς, ὑπονομευτάς, στρατιώτας, μαγείρους, παραχύτας. ἐὰν δὲ ὁ τοῦ ♃, στρατιώτας, ὑπηρέτας, τελώνας, πανδοκέας, πορθμέας, θυσιουργούς. πάλιν δὲ δύο τῶν τὰς πράξεις παρεχομένων εὑρεθέντων, ἐὰν μὲν ὁ τοῦ ☿ καὶ ὁ τῆς ♀ λάβωσι τὴν οἰκοδεσποτίαν, ἀπὸ μούσης καὶ ὀργάνων, ἢ μελῳδιῶν ἢ ποιημάτων καὶ ῥυθμῶν ποιοῦσι τὰς πράξεις, καὶ μάλιστα ὅταν τοὺς τόπους ὦσιν ἀμφιλελαχότες, ἀποτελοῦσι γὰρ θυμελικούς, ὑποκριτάς, σωματεμπόρους, ὀργανοποιούς, χορδοστρόφους, ὀρχηστάς, ὑφάντας, κηροπλάστας, ζωγράφους, κἂν μὲν ὁ τοῦ ♄ πάλιν αὐτῷ μαρτυρήσῃ, ποιεῖ τὰ προειρημένα γένη, καὶ γυναικείους κόσμους ἐμπορευομένους, ἐὰν δὲ ὁ τοῦ ♃, δικολόγους, λογιστειῶν προϊσταμένους, δημοσίους ἀσχολουμένους, παίδων διδασκάλους, ὄχλων προεστῶτας. ἐὰν δὲ ὁ τοῦ ☿ καὶ ὁ τοῦ ♂ ἅμα τὴν κυρείαν λάβωσι τῆς πράξεως, ποιοῦσιν ἀνδριαντοποιούς, ὁπλουργούς, ἑδρογλύφους, πλάστας, παλαιστάς, ἰατρούς, χειρουργούς, κατηγόρους, μοιχικούς, κακοπράγμονας, πλαστογράφους, κἂν μὲν ὁ τοῦ ♄ αὐτοῖς μαρτυρήσῃ, φονέας, λωποδύτας, ἅρπαγας, λῃστάς, ἀπελάτας, ῥᾳδιουργούς. ἐὰν δὲ ὁ τοῦ ♃, φιλοπόνους ἢ δράστας, [illegible]ούς, φιλοπράγμονας, ἀλλοτρίων ὑπεξερχομένους καὶ διὰ τῶν τοιούτων πορίζοντας, ἐὰν δὲ ὁ τῆς ♀ καὶ ὁ τοῦ ♂ ἅμα τὴν οἰκοδεσποτίαν λάβωσι τῆς πράξεως, ποιοῦσι βαφέας, μυρεψούς, κασσιτεροποιούς, μολιβδουργούς, ἀργυροκόπους, χρυσοχόους, γεωργούς, ὁπλορχηστάς, φαρμακοποιούς,

ἰατροὺς τῶν